UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 195.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Τῷ αὐτῷ ρϙε.

Οἱ πᾶσαν τὴν παλαιὰν διαθήκην εἰς τὸν Χριστὸν μεταφέρειν πειρώμενοι, οὐκ ἔξω αἰτιάσεώς εἰσιν, ἐπειδὴ καὶ ἕλλησι, καὶ τοῖς μὴ ἐγκρίνουσιν αὐτὴν αἱρετικοῖς ἰσχύειν ἐν τῇ καθ' ἡμῶν διδόασι μάχῃ· τὰ γὰρ μὴ εἰς αὐτὸν εἰρημένα ἐκβιαζόμενοι, καὶ τὰ ἀβιάστως εἰρημένα, ὑποπτεύεσθαι παρασκευάζουσι. δι' ὧν γὰρ ἐκεῖνοι αὐτοὺς ἀνατρέπουσιν ὡς παραποιοῦντας· διὰ τούτων καὶ ἐν τοῖς διαρρήδην περὶ αὐτοῦ εἰρημένοις νικᾶν νομίζονται. ἐγὼ δὲ ἀναγκαίως φημὶ ἀμφότερα γεγενῆσθαι, τό, τε μὴ πάντα λελέχθαι περὶ αὐτοῦ, καὶ τὸ μὴ παντελῶς τὰ κατ' αὐτὸν σεσιγῆσθαι. τοῦτο γὰρ ἐλυσιτέλει, τὸ μήτε δι' ὅλου περὶ τοῦ Χριστοῦ λέγεσθαι ἀνθρώποις, καὶ περὶ τοῦ θεοῦ καὶ πατρὸς ἀμφιβάλλουσι καὶ λέγουσι, ποίησον ἡμῖν θεούς. μήτε παντάπασιν ἀποσεσιωπῆσθαι, διά τε τὸν τῶν ἀπιστησόντων Ἰουδαίων ἔλεγχον, καὶ τὴν τῶν πιστευσόντων βεβαίαν ἐλπίδα.

Τῷ αὐτῷ. ρϙϛ.

Τὴν συνθήκην, τουτέστι, τὴν ἐπαγγελίαν, διαθήκην, ἡ θεία καλεῖ γραφή, διὰ τὸ βέβαιον καὶ ἀπαράβατον. συνθῆκαι μὲν γὰρ πολλάκις ἀνατρέπονται, διαθῆκαι δὲ νόμιμοι, οὐδαμῶς.

Ἡσαΐᾳ. ρϙζ.

Ἐπειδὴ ἃ μὲν προσεῖναι ἑαυτοῖς βουλόμεθα, ταῦτα καὶ ἀληθῆ εἶναι ἡγούμεθα. τῶν δὲ δυσκόλων, ῥᾳδίως ἀποκρυόμεθα τὴν μνήμην, τῷ μὴ βούλεσθαι γενέσθαι, τὸ πλέον νέμοντες. διὰ τοῦτο τῶν δοκούντων χρηστῶν ἀπολαύειν ἐλπίζοντες, τὰ δυσχερῆ διαδιδράσκειν οἰόμεθα· καὶ μάλιστα ὅταν εὐπραγία παραμυθῆται τῶν σκυθρωπῶν τὴν ἀπειλήν. ἡ γὰρ ῥαθυμία τῇ ἀνέσει ἐρρωμένη, ἀμνημονεῖν, πῶς καὶ τῆς

*Eidem.* 195.

Qui vniuersum vetus Testamentum ad Christum transferre conantur, reprehensione minimè carent. Siquidem & Gentilibus, & hæreticis illis, qui id repudiant, in sua aduersum nos concertatione robur suppeditant. Nam dum ea, quæ de ipso minimè dicta sunt, per vim intorquent, hoc efficiunt, vt quæ de eo haudquaquam contortè dicta sunt, in suspicionem veniant. Per quæ enim illi hos, vt verborum sensum intorquentes, euertunt, per eadem in his quoque quæ, quę perspicuè de eo dicta sunt, superiores esse existimantur. Ego verò necessariò vtrunque contigisse aio, nempè, nec cuncta de ipso dicta esse, nec rursum de eo nullum omninò sermonem habitum fuisse. Hoc enim conducebat, vt nec omninò de Christo apud eos homines, qui de Deo etiam ac Patre ambigebant, ac dicebant, fac nobis deos, verba fierent: nec rursum, tum ad conuincendos Iudæos, qui fidem minimè adhibituri erant, tum ad eorum, qui credituri erant, confirmandam spem omninò sileretur.

*Eidem.* 196.

Pactum, hoc est pollicitationem, Scriptura sacra Testamentum appellat, propter inuiolabilem firmitatem atque constantiam. Pacta quippe frequenter euertuntur: legitima autem testamenta non item.

*Esaiæ.* 197.

Quoniam quæ nobis adesse volumus, eadem quoque vera esse existimamus, molestarum autem rerum memoriam facere propellimus, huic nimirum rei, quam fieri nolumus, plus tribuentes: idcirco iis rebus, quæ iucunditatis speciem habent, frui sperantes, eas quæ cum molestia & acerbitate coniunctæ sunt, vitaturos nos esse arbitramur: ac præsertim cùm res secundæ tristium minas consolantur. Socordia quippe oblectamento roborata, ipsius quoque